καί (Ψ 483)

'Αἶαν νείκει ἄριστε, κακοφραδές'

καί (Ψ 474. 478)

''Ιδομενεῦ, τί πάρος λαβρεύεαι; οὐδέ τί σε χρή
λαβραγόρην ἔμεναι'

καί (Ν 824)

'Αἶαν ἁμαρτοεπὲς βουγάιε.'

καὶ τέλος ὁ Θερσίτης ὑπὸ τοῦ Ὀδυσσέως οὐ χωλὸς οὐ φαλα- C
κρὸς οὐ κυρτὸς ἀλλ' ἀκριτόμυθος λοιδορεῖται, τὸν δ' Ἥφαιστον ἡ τεκοῦσα [καὶ] φιλοφρονουμένη προσηγόρευσεν ἀπὸ τῆς χωλότητος (Φ 331)

'ὄρσεο κυλλοπόδιον, ἐμὸν τέκος.'

οὕτως Ὅμηρος καταγελᾷ τῶν αἰσχυνομένων ἐπὶ χωλότησιν ἢ τυφλότησιν, οὔτε ψεκτὸν ἡγούμενος τὸ μὴ αἰσχρὸν οὔτ' αἰσχρὸν τὸ μὴ δι' ἡμᾶς ἀλλ' ἀπὸ τύχης γινόμενον. δύο δὴ περιγίγνεται μεγάλα τοῖς τῶν ποιητῶν ἐπιμελῶς ἐθιζομένοις ἀκούειν, τὸ μὲν εἰς μετριότητα, μηδενὶ τύχην ἐπαχθῶς καὶ ἀνοήτως ὀνειδίζειν, τὸ δ' εἰς μεγαλοφροσύνην, αὐτοὺς χρησαμένους τύχαις μὴ ταπεινοῦσθαι μηδὲ διαταράττεσθαι, φέρειν δὲ πράως D
καὶ σκώμματα καὶ λοιδορίας καὶ γέλωτας, μάλιστα μὲν τὸ τοῦ Φιλήμονος ἔχοντας πρόχειρον (fr. 23)

'ἥδιον οὐδὲν οὐδὲ μουσικώτερον
ἔστ' ἢ δύνασθαι λοιδορούμενον φέρειν.'

ἂν δὲ φαίνηταί τις ἐπιλήψεως δεόμενος, τῶν ἁμαρτημάτων καὶ τῶν παθῶν ἐπιλαμβανομένους, ὥσπερ ὁ τραγικὸς Ἄδραστος, τοῦ Ἀλκμέωνος εἰπόντος πρὸς αὐτόν (Tr. adesp. 358)

'ἀνδροκτόνου γυναικὸς ὁμογενὴς ἔφυς',

ἀπεκρίνατο

'σὺ δ' αὐτόχειρ γε μητρὸς ἥ σ' ἐγείνατο.'